κόμαισί τ' ἐπέθηκεν οὔλαις
col 7 (36) ἀμεμφέα π¦λόκον,
τόν ποτέ οἱ ἐν γάμωι
δῶκε δόλιος Ἀφ¦ροδίτα ῥόδοις ἐρεμνόν.
ἄπιστον ὅ τι δαίμονες
θέλωσιν οὐδὲν φρενοάραις βροτοῖς·
νᾶα πάρα λεπτόπρυμνον φάνη· φεῦ,
οἵαισιν ἐν φροντίσι Κ¦νώσιον
ἔσχασεν στραταγέταν, ἐπεί
μόλ' ἀδίαντος ἐξ ἁλός
θαῦμα πάντεσσι, λάμ-
πε δ' ἀμφὶ γυίοις θεῶν δῶρ', ἀγ¦λαό-
θρονοί τε κοῦραι σὺν εὐ-
θυμίᾱι νεοκτίτωι
ὠλόλυξαν, ἔ-
κλαγεν δὲ πόντος· ἠίθεοι δ' ἐγγύθεν
νέοι παιάνιξαν ἐρατᾶι ὀπί.
Δάλιε, χοροῖσι Κηΐων
φρένα ἰανθείς
ὄπαζε θεόπομπον ἐσθλῶν τύχαν.